UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eulogio. 184.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

vexatores suos vincebāt, & cùm mortem oppeterent, vita præditos in fugam vertebant, ob eam causam Dominus his verbis vsus est. Noua enim erat hæc vincendi ratio, vt per cōtraria victoriam adipiscerentur, nec vnquam succumberent, verùm, perinde ac si certaminis exitus in ipsorum arbitrio ac potestate situs esset, ita ad certamina progrederentur. Atque, vt hoc clariùs perspicias, animaduerte quemadmodum nefarij illi ac pestiferi Iudæi eos tanquam irretitos tenerent, & tamen summa consilij inopia premerentur, ac dicerent, Quid faciemus his hominibus? Nam hoc demum erat, quod admirationem afferebat, atque ab hominum sensibus alienum erat, omnémque stuporē excedebat, quòd cùm eos tenerent, ac vinculis coërcerent, verberibúsque afficerent, tamen in summa animi anxietate versabantur, eásque, quæ victis conueniebant, voces emittebant, per eas videlicet res victi ac subacti, quarum ope victoriam sibi opinionis errore fingebant. Nam quæ ad eorum dedecus & infamiam moliebantur, hæc ad eorum gloriam redundare conspiciebant. Verè itaque Dei virtus in Apostolorum infirmitate vberiùs elucebat. Non enim negotia subeuntes, atque aciē cōtrà instruentes, nec arma fabricantes, ac militares copias contrahentes, verùm animum duntaxat ad perferendos dolores præparantes, hac ratione trophæa vbique statuebant.

*Paulo.* 183.

Videris, vt nonnulli aiunt, alienis laboribus teipsum ornare, atque aliorum sudoribus frui. Cęterùm illi quidem hoc nomine te accusant: ego verò nonnihil laudo. Multò enim satius est, etiam aliorum scripta in ore habere, quàm cessare desidiáque torpere, ac nugari.

*Eulogio.* 184.

Diuinus Paulus omissa persæpe enunciatione percunctationem adhibet, quòd hac ratione suauiorem ac magis efficacem

θνήσκοντες τοὺς ζῶντας ἐτρέποντο. διὰ τοῦτο τοῦτ' ἔφη. καινὸς γὰρ ἦν τῆς νίκης ὁ τρόπος, τὸ διὰ τῶν ἐναντίων κεκρατηκέναι, καὶ ἡττᾶσθαι μὲν μηδεπώποτε. ὡς δ' αὐτοὺς ὄντας κυρίους τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ὡρμηκέναι τούτους, καὶ ἵνα τοῦτο μάθῃς σαφέστερον, θέα τοὺς ἀλιτηρίους Ἰουδαίους, ὥσπερ ἐν δικτύοις αὐτοὺς ἔχοντας, καὶ διαποροῦντας, καὶ φράζοντας, τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις. τὸ γὰρ δὴ θαυμαστὸν καὶ παράδοξον, καὶ πᾶσαν ἔκπληξιν ὑπερβαῖνον, τοῦτο ἦν, ὅτι ἔχοντες αὐτοὺς, καὶ δεσμοῦντες, καὶ τύπτοντες ἐν ἀμηχανίᾳ ἦσαν, καὶ ἡττημένων ἀφίεσαν φωνὰς, διὰ τούτων ἡττώμενοι, δι' ὧν ἐδόκουν κρατεῖν. ἅπερ γὰρ εἰς ἀδοξίαν αὐτῶν ἐμηχανῶντο, ταῦτα ὑπὲρ τῆς εὐκλείας αὐτῶν ἐθεῶντο γινόμενα. ὄντως οὖν ἡ δύναμις τοῦ θεοῦ ἐν τῇ ἀσθενείᾳ τῶν ἀποστόλων πλέον διέλαμπεν. οὐ γὰρ πράγματα ὑπομένοντες, καὶ ἀντιστρατευόμενοι, οὐδ' ὅπλα χαλκεύοντες, καὶ στρατιώτας συλλέγοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες εἰς τὸ κακῶς παθεῖν μόνον, οὕτω τὰ τρόπαια πανταχοῦ ἤγειρον.

Παύλῳ. ρπγ.

Ἔοικας, ὥς φασι τινὲς, ἀλλοτρίοις ἀναγλαΐζεσθαι πόνοις, τοὺς ἑτέρων ἱδρῶτας καρπούμενος, πλὴν ἀλλ' ἐκεῖνοι μὲν αἰτιῶνται, ἐγὼ δὲ ἠρέμα ἀποδέχομαι. τοῦ γὰρ ἀργεῖν, καὶ ῥαθυμεῖν, καὶ φλυαρεῖν, πολλῷ ἄμεινον τὸ κἂν τὰ τῶν ἄλλων συγγράμματα ἐπὶ στόματος ἔχειν.

Εὐλογίῳ. ρπδ.

Ὁ θεσπέσιος Παῦλος τὸ ἀποφαίνεσθαι πολλάκις παρεὶς, κατ' ἐρώτησιν προάγει, τὴν ἀπόδειξιν ἡμερω-

τέραν

τέραν καὶ δραστικωτέραν ταύτῃ γίνεσθαι
οἰόμενος. ἔφασκε γὰρ τοῖς ἐν πει-
ρασμοῖς οὖσι καὶ δυσχεραίνουσι. τίς γὰρ
υἱὸς ὃν οὐ παιδεύει πατήρ; ἵνα ἐμφαν-
τικωτέραν τῇ ἐρωτήσει τὴν ἀπόδειξιν
ἀποφαίνει. οὕτω καὶ ἀλλαχοῦ, πρέπον
ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ
προσεύχεσθαι; τῇ ἐρωτήσει τὴν ἀτο-
πίαν σαφεστέραν δεῖξαι πειρώμενος.
ταῖς μὲν γὰρ ἀποφάσεσι πολλοὶ καὶ
ἀντιλέγειν τολμῶσι. τὰ δὲ κατ᾽ ἐπε-
ρώτησιν προαγόμενα, καὶ πείθει καὶ
ἐπιστομίζει, καὶ πρᾳότητος δόξαν τῷ
λέγοντι περιτίθησι.

demonſtrationem ſe redditurum arbitre-
tur. Aiebat enim ad eos, qui in tentatio-
nibus verſabantur, eáſque moleſto animo
ferebant, Quis enim filius, quem non cor-
ripit pater? vt per interrogationem plus
ponderis ac ſignificationis demonſtratio-
ni afferret. Atque item alio loco, Decet
mulierem detecto capite Deum orare? hac
ſcilicet interrogatione id agens, vt clario-
rem & apertiorem huiuſmodi abſurditatẽ
redderet. Siquidẽ enunciationes permulti
quoque oppugnare ac refutare aggrediun-
tur: quæ autem per interrogationem pro-
feruntur, & mouent, & ſilentium aduer-
ſariis indicunt: ac præterea lenitatis & fa-
cilitatis opinionem dicenti conciliant.

Θεοδοσίῳ σχολαστικῷ. ρπε.

Ἐγὼ τὰ ἐπιτηδεύματα ὧν οὐκ ἔστι
τὸ τέλος βιωφελὲς, οὐδὲ τέχνας εἶναι
ὁρίζομαι, ἀλλὰ ματαιοτεχνίας ἢ κα-
κοτεχνίας. τεχνικὸν γάρ ἐστι τὸ πρὸς
τὸ χρήσιμον καὶ κοινωφελὲς βλέπειν.

*Theodoſio Scholaſtico.* 185.

Ego ſtudia ea, quorum finis vitæ huma-
næ nihil commodi affert, ne artes quidem
eſſe ſtatuo, verùm ματαιοτεχνίας καὶ κακο-
τεχνίας, hoc eſt inanes & improbas artes.
Artificioſum enim hoc demum eſt, id ſibi
propoſitum habere, quod hominum vitæ
commodum atque vtile.

Θέωνι ἐπισκόπῳ. ρπϛ.

Ὁ ἀπόστολος, ὦ σοφώτατε, τοὺς
μὲν τὰ ἐπίγεια φρονοῦντας αἰτιασά-
μενος ἔφη, ἡμῶν δὲ τὸ πολίτευμα ἐν
οὐρανοῖς ὑπάρχει, τοὺς μικρὰ καὶ φαῦ-
λα πράσσοντας τοῖς μεγάλα καὶ νεανι-
κὰ ἀντιτάττων. οἱ μὲν γὰρ εὐτελεῖς εἰσὶ
καὶ ταπεινοί. οἱ δὲ μεγαλοφυεῖς καὶ οὐ-
ρανομήκεις. τοὺς δὲ κατὰ τῶν ἀδελ-
φῶν φρονοῦντας καταστέλλων ἔλεγε, μὴ
τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς τα-
πεινοῖς συναπαγόμενοι. οὐ τὰ ὑπερ-
κόσμια αὐτοὺς φαντάζεσθαι κωλύων·
ἀλλὰ τὴν ὑπεροψίαν καὶ τὴν μεγαλαυ-
χίαν ἐκκόπτων. Ἄλλο γὰρ μεγαλο-
φροσύνη, τουτέστι, μεγαλοψυχία, καὶ
ἄλλο ὑπερηφανία, τουτέστιν, ἀλαζο-
νεία. ἡ μὲν γὰρ πάντα δεύτερα ἡγεῖ-
ται τὰ συμβαίνοντα τῆς οἰκείας ἀνδρείας·
ἡ δὲ πάντας ἀνθρώπους δευτέρους τῆς οἰ-

*Theoni.* 186.

Apoſtolus, vir ſapientiſſime, cùm eos,
qui terrena ſapiunt, obiurgaſſet, his verbis
vſus eſt, Noſtra autem conuerſatio in cæ-
lis eſt: iis videlicet, qui praua & improba
faciunt, eos qui ingentia & præclara ope-
ra edunt, opponens. Illi enim viles & ab-
iecti ſunt: hi autẽ animi magnitudine præ-
diti, atque inſignis cuiuſdam proceritatis.
Rurſum, vt eos qui aduerſus fratres inſo-
lenter ſe efferunt, reprimeret, adhunc mo-
dum loquebatur. Non alta ſapientes, ſed
humilibus conſentientes. Non quòd eos
res ſupra mundum poſitas animo agitare
prohiberet: ſed vt ſuperbiã ac iactantiã ex-
cinderet. Aliud enim μεγαλοφροσύνη, hoc
eſt animi magnitudo, aliud ſuperbia, hoc
eſt, arrogãtia deſignat. Siquidẽ illa omnia,
quæ accidunt, infra ſuam fortitudinẽ po-
ſita eſſe ducit: hæc autem omnes homines